vt muſicum, homine muſico. Non enim erit ratio tota abſque parte: tametſi non contingit muſicum eſſe, ſi non ſit aliquis muſicus. Item, priora dicuntur, paſſiones priorum: vt rectitudo, leuitate. Iſtud enim lineæ per ſe paſſio, hoc vero ſuperficiei. Quædam igitur ita priora, & poſteriora dicuntur. Quædam vero ſecundum naturam, & ſubſtantiam, quæcunque contingunt abſque aliis eſſe, iſta vero ſine illis minimè, qua diuiſione vſus eſt Plato. Cùm autem ipſum eſſe multipliciter dicatur, primo quidem ſubiectum eſt prius, propter quod ſubſtantia prior. Deinde aliter quæ ſecundum potentiam, & quæ ſecundum actum. Quædam enim ſecundum potentiam priora ſunt, quædam vero ſecundm actum: veluti ſecundum potentiam quidem, dimidia, quàm tota: & particula, quàm totum: & materia, quàm ſubſtantia. Secundum actum vero, poſterior: diſſoluto etenim, ſecundum actum erit. Quodam modo igitur omnia quæcũque prius, & poſterius dicuntur, ſecundum hæc dicuntur. Quædam enim ſecundum generationem, contingit abſque aliis eſſe, vt totum partibus. Quædam vero ſecundum corruptionem: vt pars, toto. Similiter etiam cætera.

CAPVT XII.

POtentia dicitur, quędam quidem principium motus, aut tranſmutationis in altero, aut prout alterum eſt: vt ædificatiua potentia eſt, quæ non ineſt in ædificato: ſed ars medendi, cùm ſit potentia, inerit tamen in eo, qui ſanatur, ſed nõ prout ſanatur. Quædam igitur, omnino principium tranſmutationis, aut modus dicitur potentia in altero, aut prout alterum eſt. Quædam vero, ab altero, aut prout alterum eſt: ſecundum quam profecto, quod patitur, aliquid patitur. Quandoque igitur, ſi quid quodcunque pati impoſſibile eſt, dicimus illud poſſe pati: quandoque vero non ſecundum omnem paſſionem, ſed ſi ad melius. Item, qua eius, quod bene quippiam efficiatur, aut ſecũdum electionem. Aliquando enim eos, qui ſolùm ambularunt, aut dixerunt, non autem bene, nec vt propoſuerunt, non dicimus poſſe dicere, aut ambulare. Similiter quoque de pati. Item, quicunque habitus, ſecundum quos impoſſibilia omnino, aut immutabilia ſint, aut non facilè ad deterius moueãtur, potẽtiæ dicũtur. Frangũtur nanque, & conteruntur, & flectuntur, & omnino corrumpuntur, nõ propter poſſe, ſed propter nõ poſſe, & in aliquo deficere. Inpaſſibilia vero à talibus ſunt, quæ propter potentiã, & poſſe,

A οἷον, τὸ μουσικὸν, τοῦ μουσικοῦ ἀνθρώπου. οὐ γὰρ ἔσται ὁ λόγος ἄνευ τοῦ μέρους· καίτοι οὐκ ἐνδέχεται μουσικὸν εἶναι, μὴ ὄντος μουσικοῦ τινος. ἔτι πρότερα λέγεται τὰ τῶν προτέρων πάθη· οἷον, εὐθύτης λειότητος. τὸ μὲν γὰρ, γραμμῆς καθ' αὑτὴν πάθος· τὸ δὲ, ἐπιφανείας. τὰ μὲν δὴ οὕτω πρότερα λέγεται καὶ ὕστερα· τὰ δὲ κατὰ φύσιν, ὅσα ἐνδέχεται εἶναι ἄνευ ἄλλων· ἐκεῖνα δὲ ἄνευ ἐκείνων μή· ᾗ διαιρέσει ἐχρῆτο ὁ Πλά-
B των. ἐπεὶ δὲ τὸ εἶναι πολλαχῶς, πρῶτον μὲν, τὸ ὑποκείμενον πρότερον, διὸ ἡ οὐσία πρότερον. ἔπειτα ἄλλως τὰ κατὰ δύναμιν, καὶ κατ' ἐντελέχειαν. τὰ μὲν γὰρ κατὰ δύναμιν, πρότερόν ἐστι· τὰ δὲ κατ' ἐντελέχειαν, ὕστερον· οἷον, κατὰ δύναμιν μὲν ἡ ἡμίσεια τῆς ὅλης, καὶ τὸ μόριον τοῦ ὅλου, καὶ ἡ ὕλη τῆς οὐσίας. κατ' ἐντελέχειαν δὲ ὕστερον. διαλυθέντες γὰρ, κατ'
C ἐντελέχειαν ἔσται. τρόπον δή τινα πάντα τὰ πρότερον καὶ ὕστερον λεγόμενα, κατὰ ταῦτα λέγεται. τὰ μὲν γὰρ κατὰ γένεσιν ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι· οἷον, τὸ ὅλον τῶν μορίων. τὰ δὲ κατὰ φθορὰν, οἷον τὸ μόριον τοῦ ὅλου. ὁμοίως δὲ καὶ τἆλλα.

Κεφάλαιον ιβ.

ΔΥναμις λέγεται, ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς ἐν ἑτέρῳ, ἢ ᾗ ἕτερον· οἷον, ἡ
D οἰκοδομικὴ, δύναμίς ἐστιν ἣ οὐχ ὑπάρχει ἐν τῷ οἰκοδομουμένῳ· ἀλλ' ἡ ἰατρικὴ δύναμις οὖσα, ὑπάρχοι ἂν ἐν τῷ ἰατρευομένῳ, ἀλλ' οὐχ ᾗ ἰατρευόμενος. ἡ μὲν οὖν ὅλως, ἀρχὴ μεταβολῆς ἢ κινήσεως, λέγεται δύναμις ἐν ἑτέρῳ, ἢ ᾗ ἕτερον. ἡ δὲ ὑφ' ἑτέρου, ἢ ᾗ ἕτερον. καθ' ἣν γὰρ τὸ πάσχον πάσχει τι. ὁτὲ μὲν οὖν ἐὰν ὁποιοῦν οἷόν τε ᾖ παθεῖν, δυνατὸν φα-
E μὲν εἶναι αὐτὸ παθεῖν· ὁτὲ δὲ οὐ κατὰ πᾶν πάθος, ἀλλ' ἂν ἐπὶ τὸ βέλτιον. ἔτι ἡ τοῦ καλῶς τόδε ἐπιτελεῖν, ἢ κατὰ προαίρεσιν. ἐνίοτε γὰρ τοὺς μόνον ἂν πορευθέντας ἢ εἰπόντας, μὴ καλῶς δὲ, ἢ μὴ ὡς προείλοντο, οὔ φαμεν δύνασθαι λέγειν ἢ βαδίζειν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πάσχειν. ἔτι ὅσαι ἕξεις καθ' ἃς ἀπαθῆ ὅλως, ἢ ἀμετάβλητα, ἢ μὴ ῥᾳδίως ἐπὶ τὸ χεῖρον εὐμετακίνητα, δυνάμεις λέγονται.
F κλᾶται μὲν γὰρ καὶ συντρίβεται, καὶ κάμπτεται, καὶ ὅλως φθείρεται, οὐ τῷ δύνασθαι, ἀλλὰ τῷ μὴ δύνασθαι, καὶ ἐλλείπειν τινός. ἀπαθῆ δὲ τῶν τοιούτων, ἃ μόλις καὶ ἠρέμα